τύφλου παραπέμπει.) ἢ φρίττεις τῷ ἀρχεκάκῳ βδελύγματι τὰ ἅγια ἀναφέρειν; Καὶ ὁ μὲν τοσαύτῃ τιμῇ καὶ δόξῃ περιτειχίζει τὰ νομικὰ ἱερά, καὶ τοὺς Ἰουδαίους, ὅτι τιμῶντες μὴ κατὰ τὸ προσῆκον ἐτίμων, τηλικαύτης ὀργῆς καὶ δίκης ἐνόχους ποιεῖ, οὐ κατ' ἐκείνων μᾶλλον, ἢ κατὰ σοῦ ταύτας ἀφιείς; σὺ δὲ τοῦ μεγέθους τῆς σῆς βλασφημίας οὐδ' οὕτως αἴσθησιν βούλει λαβεῖν. Καὶ ἡ μὲν αὐθυπόστατος τοῦ θεοῦ σοφία τοὺς γραμματεῖς καὶ φαρισαίους ἔτι καθυποβάλλει ταῖς ἀραῖς, ὅτι μὴ διὰ πάντων τοῦ νόμου τὸ σεβάσμιον ἔνεμον· ἀλλ' ἐν μὲν τοῖς μικροτέροις ἐνομοφυλάκουν, ἐν δὲ τοῖς μείζοσι παρενόμουν. Σὺ δὲ κατὰ πάντων τὴν γλῶσσαν ὀξύνων καὶ νόμων καὶ ἱερῶν, ἀλλὰ καὶ τούς, ὅσοι ποτὲ κατὰ τὸν νόμον ἐπολιτεύοντο, εἰς ἐσχάτην ἀσέβειαν ἕλκων, οὐκ οἴει πολυπλασίους τὰς ποινὰς ὑφέξειν. Καὶ γὰρ ὁ σωτήρ, οὐαὶ ὑμῖν, ἐπιφέρει, γραμματεῖς καὶ φαρισαῖοι, ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν. Καὶ τοίγε κατὰ τὸν τῆς ἀποστασίας λόγον, οὐκ ἐφ' οἷς παρεώρων τὰ τοῦ νόμου, ἀλλ' ἐν οἷς ἔσπευσαν τὰς εἰσπράξεις, ἔδει τούτους ἀπαιτεῖσθαι. Εἰ γὰρ οὐκ ἔστι τῷ ἀγαθῷ ἀρεστά, τούτων ὥσπερ ἡ πρᾶξις ἐν εὐθύναις τοὺς ἑλομένους ὑπάγει, οὕτως ἡ φυγὴ πάσης ἀνωτέρω τίθησιν αἰτίας. Ἀλλ' ὁ σωτὴρ ἡμῶν ὁ τῆς παλαιᾶς, ὥσπερ καὶ τῆς καινῆς κύριος ὑπάρχων καὶ δεσπότης, κατὰ τῆς νεωτεριζούσης ἀσεβείας μᾶλλον, ἢ τῆς Ἰουδαϊκῆς ὀλιγωρίας τὴν ψῆφον ἐκφέρει. Ταῦτα γὰρ ἐκ-

φησί

http://digital.slub-dresden.de/ppn345414306/359